


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ Κ΄ ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΟΣΜΑΝ ΤΟΝ ΕΡΗΜΙΤΗΝ

Ποίημα Ἰωάννου Γ. Παναγόπουλου




# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ, ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

κ΄

# ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΟΣΜΑΝ ΤΟΝ ΕΡΗΜΙΤΗΝ

Ποίημα Ἰωάννου Γ. Παναγόπουλου

Ἀθήνησιν ͵βιθ΄


Ο ΑΓ.
ΚΟСΜΑС
ο ερημίτης και
ομολογητής

# ΑΠΟΛΥΤΙΚΙΟΝ
# ΟΣΙΟΥ
# ΚΟΣΜΑ ΤΟΥ ΕΡΗΜΙΤΟΥ

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

*Τῇ σεπτῇ ἐπανόδῳ τῶν παντίμων λειψάνων σου*
***Ἐκκλησία Κρήτης**, θεόφρον, περιδόξως ἁβρύνεται*
*καὶ χαίρουσα μονὴ τοῦ **Κουδουμᾶ**,*
*ὡς ὄλβον ἐγκολποῦταί σε, **Κοσμᾶ**,*
*ἐξ ὧν χάριν κομιζόμενοι οἱ πιστοὶ*
*μελῳδικῶς κραυγάζομεν·*
*δόξα τῷ σέ κοσμήσαντι **Χριστῷ**,*
*δόξα τῷ σέ χαριτώσαντι,*
*δόξα τῷ δεδωκότι σέ ἡμῖν*
*πρέσβυν ἀνύστακτον.*



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΚΟΣΜΑΝ ΤΟΝ ΕΡΗΜΙΤΗΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον,
μεθ’ ὃ τὸ Θεὸς Κύριος καὶ τὰ ἑξῆς Τροπάρια.

Ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

*Ὡς κοσμηθεὶς ταῖς ἀρεταῖς φερωνύμως*
*ὢν ἀπαρχὴ τῶν ἐν τῇ **Κρήτῃ** ὁσίων*
*ὁμολογίας ἔμψυχος καὶ ἔμπνους εἰκὼν*
*σκέπε τοὺς καλοῦντάς σε θεοδέκτοις πρεσβείαις,*
*φρούρει μεγαλόνησον ἐκ ῥύμης ἐναντίων,*
*καὶ ἐξαιρέτως φύλαττε, **Κοσμᾶ**,*
*εὔανδρον χώραν **Γορτύνης** τιμῶσάν σε.*

**Δόξα Πατρί.**

Ὅμοιον.

***Ἀ**στερουσίων ἀναβάντες τὸ ὄρος*
*καὶ προσελθόντες **Κουδουμᾶ** τῷ σεμνείῳ*
*πανευλαβῶς ἐγγίζομεν, θεόφρον **Κοσμᾶ**,*
*πάντιμά σου λείψανα κρουνηδὸν διανέμοντα*
*δῶρα τοῖς τιμῶσί σε κατὰ χρείαν ἑκάστου,*
*ὅτι δικαίου σθένει ἡ εὐχὴ*
*ἐνεργουμένη, ὡς γέγραπται πρόπαλαι.*

Καὶ νῦν.

Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε...

Ο Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·
«Κόσμησόν με, Κοσμᾶ, εὐχῶν κοσμιότητι. Ἰω».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

*Κοσμᾶ, ὁ ταλαίφρων δεητικῶς*
*πρὸς τὰς κοσμοπλόκους μεσιτείας σου προσφυγὼν*
*κράζω· θεοφόρε, κόσμησόν με*
*περικαλλῶς σῶν εὐχῶν κοσμιότητι.*

*Οἰκήσας πλησίον τοῦ Κουδουμᾶ*
*τὸ σπήλαιον, μάκαρ, ὑπὲρ δόμους πολυτελεῖς*
*ἀνέδειξας πλούτῳ προσευχῶν σου*
*δι' ὧν, Κοσμᾶ, σοὺς ἱκέτας νῦν κόσμησον.*

*Σωμάτων ἰάσεις τοῦ Σιλωὰμ*
*πάλαι κολυμβήθρα τῶν ὑδάτων τῇ ταραχῇ*
*διένειμε πᾶσιν ἀσθενοῦσιν,*
*ὅπως τανῦν, σοῦ λειψάνου προσκύνησις.*

Θεοτοκίον.

*Μεγάλης εὐκλείας τοῦ Κουδουμᾶ*
*ἡ μάνδρα τυχοῦσα τῇ ἐλεύσει τῆς θαυμαστῆς*
*καὶ σεπτῆς εἰκόνος Ἐλεούσης*
*νῦν θησαυρίζει ὡς πλοῦτον πολύτιμον.*

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

*Ἡ ἀχλὺς τῶν πταισμάτων*
*καὶ τῶν παθῶν κάκωσις*
*φῶς τῶν ὀφθαλμῶν τῆς ψυχῆς μου*
*ἤμβλυνεν, ὅσιε,*
*διὸ ζωῆς ἀτραπὸν*
*ὡς ὁ τυφλὸς νῦν ὁδεύω*
*σοί βοῶν· πρεσβείαις σου*
*σκότος μου φώτισον.*

Σαρκικῶν ἀλγημάτων
τὰ ὀχληρὰ βέλεμνα
ῥώμην ψυχικήν μου συντρίβει·
ὅθεν προσέδραμον
πρὸς τὴν ἀσπίδα, Κοσμᾶ,
πανσθενουργοῦ σου πρεσβείας
τοῦ σωθῆναι τάχιστα
κέντρων νυττόντων με.

Οὐρανῶν ἐν θαλάμοις
χοροβατῶν, ὅσιε,
μέμνησο οἰκείας πατρίδος,
ὅπου ἡγίασας,
ἰδίᾳ μάνδρας σεπτῆς,
τοῦ Κουδουμᾶ, σέ τιμώσης,
ὦ Κοσμᾶ, ὡς ἔφορον
ἅμα καὶ πάτρωνα.

Θεοτοκίον.

Νοερῶν ἀσωμάτων
ἀγγελικῶν τάξεων
σέ ἐνδοξοτέραν ὑμνοῦμεν,
ὅτε προσβλέπομεν
ἐν τῇ μονῇ Κουδουμᾶ
πρὸς ἱεράν σου εἰκόνα,
Ἐλεοῦσα Δέσποινα,
σέ μακαρίζοντες.

Διάσωσον ἐκ πάσης βλάβης καὶ θλίψεως ψυχοφθόρου
τούς σέ τιμῶντας μελῳδικῶς, Κοσμᾶ θεοβράβευτε,
καὶ σπεύδοντας πίστει τοῖς σοῖς λειψάνοις.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

*Νηστείαις συχναῖς ἐπάρσεις σαρκὸς ἤσχυνας,*
*πυκναῖς προσευχαῖς ψυχήν σου ἀνεπτέρωσας,*
*ὡς τοῦ ἀκροτάτου τῶν ἐφετῶν,* ***Κοσμᾶ,*** *ἐφιέμενος·*
*ὅθεν ἐδείχθης σκεῦος ἐκλογῆς*
*πιστοῖς διανέμον τὰ δωρήματα.*

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

*Μοχθηροῦ βίου ἔτυχον,*
*ὅτι θείας χάριτος ἀπεσκίρτησα,*
*ὅθεν κράζω ὁ ταλαίπωρος·*
*χεῖρα βοηθείας μοι χορήγησον.*

*Ἐπωδύνως μαστίζομαι*
*ἐκ παθῶν ὁ δείλαιος, διὸ λέγω σοι·*
*ὡς ἀκέστωρ μου θεράπευσον,*
*ὦ* ***Κοσμᾶ,*** *τὰ ἄλγη τὰ δυσίατα.*

*Κοσμικῶν ἀπολαύσεων*
*ἡδονῶν καὶ τέρψεων, πάτερ ὅσιε,*
*τὴν φενάκην ἀποκάλυψον*
*καὶ ὁδήγησόν με πρὸς τὰ κρείττονα.*

Θεοτοκίον.

*Ὁλικῶς ἀνατίθημι*
*πᾶσαν τὴν ἐλπίδα μου, Ἐλεοῦσα, σοί,*
*ὅπως λάβω ἱκεσίαις σου*
*πρὸς τὸν Ἐλεήμονα τὸ ἔλεος.*

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

*Σκότος ἐκ παθῶν*
*τὸ ἀσέληνον διάλυσον*
*ταῖς φαειναῖς μαρμαρυγαῖς*
*παραδόξων σου θαυμάτων, θεοβράβευτε.*

*Μέγας ἀρωγὸς*
*καὶ ταχὺς εἰς τὴν ἀντίληψιν*
*τοῖς σέ καλοῦσι φάνηθι, Κοσμᾶ,*
*ὅτι σθένουσιν εὐχαί σου, ὥσπερ γέγραπται.*

*Ἄνωθεν, Κοσμᾶ,*
*τὴν σὴν χάριν ἐξαπόστειλον*
*τῷ ἱερῷ σεμνείῳ τοῦ Κουδουμᾶ*
*τῷ κατέχοντι σορόν σου ὡς θησαύρισμα.*

Θεοτοκίον.

*Ἔλεος, Ἁγνή,*
*νῦν ἐπίχεον τοῖς τέκνοις σου,*
*ὡς προσωνυμία νῦν δηλοποιεῖ*
*περιπύστου σου εἰκόνος, ἣν σεβόμεθα.*

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχέω.

*Ὑπώρειαν τῆς Ἑλλάδος, ὅσιε,*
*καθηγίασας συντόνῳ ἀσκήσει*
*ἐν τῷ νοτίῳ σπηλαίῳ τῆς Κρήτης·*
*ὅθεν ὡς ἕτερος Ἄτλας νῦν στήριξον*
*ἐπ᾽ ὤμων ἀράμενος, Κοσμᾶ,*
*τὴν πατρίδα ἡμῶν τὴν ἐπίγειον.*

*Χαρίσμασι τὴν ψυχήν σου κρείττοσι*
*κατεκόσμησε, Κοσμᾶ, φερωνύμως*
*τοῦ Παρακλήτου παμπόθητος χάρις,*
*ἣν σαῖς πρεσβείαις αἰτοῦμαι δοθῆναί μοι*
*τῷ πένητι καὶ ἐνδεεῖ,*
*ὅτι ἔχεις τὸ δύνασθαι, ὅσιε.*

*Ὡς λύχνον ἐπὶ λυχνίαν ἔστησεν*
*ἡ ἐπάνοδος σεπτῶν σου λειψάνων*
*τὴν σεβασμίαν σου μνήμην ἐν κόσμῳ,*
*διὸ Γορτύνης μητρόπολις γάνυται*
*πλουτοῦσά σε ὡς ἀρωγόν,*
*θεοφόρε Κοσμᾶ, ἣν περίσωζε.*

Θεοτοκίον.

*Ναόν σου ἐν **Κουδουμᾶ** θεόκτιστον*
*περιφρούρει, Ἐλεοῦσα, λιταῖς σου,*
*ὅτι ἐν μέσῳ φυλάττει ὡς ὄλβον*
*τὴν ἱεράν σου εἰκόνα τὴν βρύουσαν*
*θαυμάτων θείων ποταμὸν*
*ἀθεΐας αὐχμὸν ἀνακόπτοντα.*

*Διάσωσον ἐκ πάσης βλάβης καὶ θλίψεως ψυχοφθόρου*
*τούς σέ τιμῶντας μελῳδικῶς, **Κοσμᾶ** θεοβράβευτε,*
*καὶ σπεύδοντας πίστει τοῖς σοῖς λειψάνοις.*

*Ἄχραντε, ἡ διὰ λόγου τὸν **Λόγον** ἀνερμηνεύτως*
*ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,*
*ὡς ἔχουσα μητρικὴν παρρησίαν.*

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Προστασία Χριστιανῶν.

*Ἀρεταῖς **Παρακλήτου** λαμπρῶς κατεποίκιλας*
*φερωνύμως ψυχήν σου, **Κοσμᾶ** παναοίδιμε,*
*καὶ βαρὺν ὁμολογητῶν ἀράμενος σταυρὸν*
*ἐναντίον τῶν αἱρετικῶν*
*τεῖχος ἐδείχθης ἀρραγὲς*
*ἀποκρούων τοξεύματα·*
*ὅθεν παρακαλοῦμεν*
*ἀπρόσβλητον διατήρει*
*τὴν Ἐκκλησίαν σαῖς λιταῖς*
*ἐκ τῆς λύμης τῶν αἱρέσεων.*

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον.
Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.
(ΙΑ΄ 27-30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι ...
(Ζήτει τῇ 5ῃ Δεκεμβρίου εἰς τὴν Λειτουργίαν).

**Δόξα Πατρὶ**

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. **Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.**

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

*Σκῆνος σὸν πανέντιμον*
*ἡ Βενετία ἐν κρύπτῃ,*
*ὡς φυλάττει, ὅσιε,*
*μαργαρίτην ὄστρακον τὸ ἐνάλιον,*
*ἐκ βουλῆς ἔσωσε τῶν υἱῶν τῆς Ἄγαρ*
*ἀποδοῦσα, ὡς ὠφλίσκανε,*
*εἰς ὄρος ἅγιον*
*τῶν Ἀστερουσίων τῇ σήμερον*
*ὡς ὄλβον πολυτίμητον*
*μετὰ χιλιάδος παρέλευσιν*
*ὄντως μετρουμένης*
*ἐν ὄμμασι Θεοῦ ὡς ἡ ἐχθές,*
*Ὃν παρρησίᾳ ἱκέτευε*
*ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κοσμᾶ, ἐκ νήσου Κρήτης,
ἣν κατήρδευσας πάλαι
τῶν σῶν ἱδρώτων ῥοαῖς
τῇ δρόσῳ τῶν εὐχῶν σου,
παθῶν τὴν ἀνομβρίαν
ἀπομάκρυνον τάχιστα,
ἵνα βλαστάνῃ ἀεὶ
τῆς πίστεως τὸ δένδρον.

Ὀξείας λοιδορίας,
Κοσμᾶ, αἱρετιζόντων
καὶ ἀντιθέων μομφὰς
ἀπέκρουσας γενναίως
ζυγὸν ὁμολογίας
ὁλοθύμως δεξάμενος·
διὸ τὴν πίστιν ἡμῶν
περίσκεπε λιταῖς σου.

Σωμάτων τὰς ἰάσεις
ταραχῇ τῶν ὑδάτων
τοῦ Σιλωὰμ ἡ πηγὴ
ἀνέβλυζεν νοσοῦσιν
ἀλγήματα σοβοῦσα,
ὅμως νῦν ἡ ἐπίκλησις
ὀνόματός σου ἀρκεῖ,
Κοσμᾶ, θαυματουργῆσαι.

Θεοτοκίον.

Μηδέποτε ἐλλίπης
ὑπὲρ τῶν προσκυνούντων
ἐν Κουδουμᾶ τῇ μονῇ
περίκομψον εἰκόνα
μορφῆς σου θεῖον τύπον,
Ἐλεοῦσα, ἐμφαίνουσαν
καθικετεύειν Χριστὸν,
Ὃν φέρεις ἐν ἀγκάλαις.

Ὠδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν.

*Ἴασαι, πάτερ,*
*κακουχουμένους ἐν νόσοις*
*καὶ πικραῖς ἀλγηδόσι λιταῖς σου,*
*ὅτι τοῖς ἁγίοις*
*δεδώρηται ἡ χάρις.*

*Ὄμβρους ὑδάτων*
*σῇ προσταγῇ κεκλεισμένους,*
*εἰ καὶ νέκυς, **Κοσμᾶ** θεοφόρε,*
*ἤνοιξας εὐχαῖς σου,*
*ἃς δίδου σοῖς ἱκέταις.*

*Τῆς σεβασμίας*
*τοῦ **Κουδουμᾶ**, πάτερ, μάνδρας*
*ἀρωγὸς ἀκατάβλητος πέλεις,*
*ἥπερ σὴν πρεσβείαν*
*αἰτεῖται καθ᾽ ἑκάστην.*

Θεοτοκίον.

*Ἤχθη ἐν **Κρήτῃ***
*ἐκ τῆς **Ἠπείρου** ἡ πάλαι*
*παραδόξως εἰκὼν **Ἐλεούσης**,*
*τῶν **Ἀστερουσίων***
*θησαύρισμα τὸ νέον.*

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

*Τῇ χάριτι εὐχῶν σου*
*σκέπασον ὡς νέφος*
***Ἀστερουσίων** τὰ ὄρη*
*πλουτοῦντα, **Κοσμᾶ**,*
*σῶν πανιέρων λειψάνων*
*θήκην αἰδέσιμον.*

*Ἰσάγγελον προκρίνας*
*βίον, θεοφόρε,*
*τῶν μοναζόντων τὰ στίφη*
*θερμαῖς σου λιταῖς*
*ὥσπερ ὁμότροπος φρούρει,*
*σκέπε καὶ φύλαττε.*

*Ἰσχύος ἔμπλησόν με*
*τὸν ὑμνήσαντά σε,*
*ὅπως **Βελίαρ** παγίδων*
*ἐκφύγω, **Κοσμᾶ,***
*τῶν ἡπλωμένων θηρεῦσαι*
*τλήμονα παῖδα σου.*

Θεοτοκίον.

*Ὠδὰς ἱκετηρίους*
*ἔμελψα ὁ τάλας*
*πρὸς τὴν σεπτήν σου εἰκόνα,*
***Παρθένε Ἁγνή,***
*τῆς **Ἐλεούσης,** ἣν σέβω*
*χάριν αἰτούμενος.*

Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια,
ὧν ἡ ἀκροστιχίς· «Χαῖρε Κοσμᾶ».

*Χαίροις τῶν ὁσίων ἡ ἀπαρχὴ*
*ἐν τῇ νήσῳ **Κρήτης,***
*ἐρημῖτα διὰ **Χριστόν·***
*χαίροις φερωνύμως*
*ἡ δόξα καὶ ὁ κόσμος,*
***Κοσμᾶ,** τῆς **Ἐκκλησίας***
*ὁ θεοπρόβλητος.*

*Ἅπαντες τιμήσωμεν ἐν ᾠδαῖς*
***Κοσμᾶν** ἐρημίτην,*
*τῶν ὁσίων ὑπογραμμόν,*
*ἀσκητῶν τὸ κλέος*
*καὶ γάνος τῶν ἀββάδων,*
*ὧν ἴχνεσι βαδίσας*
*σπήλαιον ᾤκησε.*

*Ἵλεων ἀπέργασαι τὸν Θεόν,*
*ὅτι προσπελάζεις,*
*ἐρημῖτα, σὺν τῷ χορῷ*
*πάντων τῶν ἁγίων*
*τῷ θρόνῳ τῷ ἀστέκτῳ*
*τρυφῶν τῶν σῶν καμάτων,*
*θείαν ἀντίδοσιν.*

*Ῥέοντα τοῦ βίου ὡς χαμερπῆ*
*πλοῦτον καὶ οἰκίας*
*ἐπενδύτας καὶ τὸν χρυσὸν*
*σκύβαλα ἡγήσω·*
*διόπερ ὡς στρουθίον*
*ηὐλίσθης ἐν ἐρήμῳ,*
*μάκαρ, ὡς γέγραπται.*

*Ἔχομέν σε πρέσβυν ἐν οὐρανῷ,*
*ἐν κινδύνοις ῥύστην,*
*ἐν κακώσεσιν ἀρωγόν,*
*ἐν ταῖς εὐλογίαις*
*αἰτίαν χαρμοσύνης,*
***Κοσμᾶ**, θεῖον προστάτην*
*καὶ ἀντιλήπτορα.*

*Κέντρον ἀμελοῦσι σὴ βιοτὴ*
*πέλει, ἐρημῖτα,*
*καὶ ὑπόμνησις ἀρετῆς,*

*ἅμα ὁδοδείκτης πρὸς ἄνω Βασιλείαν,*
*Κοσμᾶ, ἣν δώρησαί μοι*
*ταῖς ἱκεσίαις σου.*

*Οὐρανοὺς κλεισθέντας ὡς Ἠλιοὺ*
*πρώτῃ ἐπανόδῳ*
*εἰς ἐγκλείστραν τῆς σῆς σοροῦ*
*ἤνοιξας τὸ πάλαι,*
*ἀλλὰ καὶ νῦν λειψάνων*
*ἐπανακομισθέντων*
*ὄμβρους ἐπήγασας.*

*Στήλη ἐγκρατείας ὤφθης, Κοσμᾶ,*
*καὶ ὁμολογίας*
*ἡ λυχνία ἡ φωταυγής,*
*ὅτι οὐκ ἐφείσω*
*διὰ Χριστὸν τῶν κόπων,*
*Ὧ πρέσβευε δοθῆναι*
*τέκνοις σου ἔλεος.*

*Μέλπομεν προθύμως τὴν πρὸς ἡμᾶς*
*ἐκ τῆς Βενετίας*
*ἀνακόμισιν τῶν σεπτῶν*
*καὶ χαριτοβρύτων*
*λειψάνων σου, παμμάκαρ,*
*ἀρδεύοντες ἐκ τούτων*
*χάριν ἰάσεων.*

*Ἄνωθεν πρυτάνευσον τοῦ χοροῦ*
*τοῦ ὁσιολέκτου*
*μοναζόντων ἐν Κουδουμᾷ,*
*χώραν δὲ Γορτύνης*
*ἐπίβλεψον ὡς πάτρων,*
*Κοσμᾶ, καὶ νῆσον Κρήτης*
*φρούρει ὡς ἔφορος.*

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ ...

Τρισάγιον.
Εἶθ᾽ οὕτω τὰ τροπάρια·

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.
Δόξα. Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Καὶ νῦν. Τῆς εὐσπλαχνίας τὴν πύλην.
Ἢ τὸ ἀπολυτίκιον τοῦ Ἁγίου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

*Τῇ σεπτῇ ἐπανόδῳ τῶν παντίμων λειψάνων σου*
***Ἐκκλησία Κρήτης**, θεόφρον, περιδόξως ἀβρύνεται*
*καὶ χαίρουσα μονὴ τοῦ **Κουδουμᾶ**,*
*ὡς ὄλβον ἐγκολποῦται σέ, **Κοσμᾶ**,*
*ἐξ ὧν χάριν κομιζόμενοι οἱ πιστοὶ*
*μελωδικῶς κραυγάζομεν·*
*δόξα τῷ σὲ κοσμήσαντι **Χριστῷ***
*δόξα τῷ σὲ χαριτώσαντι,*
*δόξα τῷ δεδωκότι σὲ ἡμῖν*
*πρέσβυν ἀνύστακτον.*

Ἐκτενὴς καὶ ἀπόλυσις μεθ᾽ ἣν ψάλλομεν τὰ ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

*Ὄρος ἀναβὰς ἀσκητικῶς*
*τὴν κατὰ **Θεὸν** ἡσυχίαν*
*ηὗρες ὡς κλεῖδα, **Κοσμᾶ**,*
*ὅθεν καὶ διήνοιξας*
***Ἐδὲμ** θυρώματα,*
*ὅπου θρόνῳ παρίστασαι*
*ὡς πρέσβυς τῶν πίστει*
*σὲ καλούντων, ὅσιε,*
*ὡς ἀντιλήπτορα*
*ἐν ταῖς περιστάσεσι βίου*
*καὶ τῶν προσκυνούντων σορόν σου*
*τὴν κατακοσμοῦσαν **Ἀστερούσια**.*

Ἦχος πλ. δ´.

*Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου*
*καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.*

Ἦχος β´.

*Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι,*
*Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.*

*Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων,*
*καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν,*
*καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων*

Δίστιχα.

*Εὐχαῖς πατρικαῖς Μακαρίου Γορτύνης*
*μέλη παρακλήσεως, Κοσμᾶ, σοί ἐγράφη.*

*Θερμῇ προτροπῇ Κουδουμᾶ Μακαρίου*
*ἔπλεξα, Κοσμᾶ, σοί ᾠδὰς ἱκετηρίας.*

*Παγίδων, Κοσμᾶ, κοσμικῶν ἐξελοῦ με*
*ᾠδῶν σε κόσμῳ κοσμοῦντα Ἰωάννην.*


Ο ΟϹΙΟϹ ΚΟϹΜΑϹ
Ο ΕΡΗΜΙΤΗϹ
Κ
ΟΜΟΛΟΓΗΤΗϹ



# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΟΣΜΑΝ ΤΟΝ ΕΡΗΜΙΤΗΝ

Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

*Ἐν ἀσκηταῖς τὸν ἐρημίτην ἐπαινέσωμεν*
*ὁμολογίας τὸν βαστάσαντα τὰ στίγματα,*
*τὸν Κοσμᾶν ᾠδαῖς κοσμήσωμεν ὁμωνύμως*
*ὡς προθύμως παριδόντα τὰ ἐπίκηρα*
*καὶ προκρίναντα ἐν μόχθοις τὰ αἰώνια*
*νῦν κραυγάζοντες· χαῖρε, Κοσμᾶ θεοκόσμητε.*

*Ἄγγελος ἀνεδείχθης ἀσκηθεὶς ὑπὲρ φύσιν,*
*Κοσμᾶ, ἐν τοῖς σπηλαίοις τῆς Κρήτης (ἐκ γ΄)*
*καὶ τῆς ὁμολογίας ζυγὸν*
*ἀγογγύστως διὰ Χριστόν, ὅσιε,*
*ἀράμενος ἐπ᾽ ὤμων σου*
*ἐγείρεις τοὺς πιστούς σοι κράζειν·*

*Χαῖρε, δι᾽ οὗ ὁ Χριστὸς ὑμνεῖται·*
*χαῖρε, δι᾽ οὗ ὁ ἐχθρὸς θαμβεῖται.*
*Χαῖρε, ἐρημίας τὸ πρᾶγμα καὶ ὄνομα·*
*χαῖρε, ἡσυχίας λαμπρὸν σεμνολόγημα.*
*Χαῖρε, ἄγγελε ἐπίγειε ἐν σπηλαίοις παροικῶν·*
*χαῖρε, ἄνθρωπε οὐράνιε εἰς Ἐδὲμ ὁ εἰσελθών.*
*Χαῖρε, ὅτι ὑπάρχεις τῆς Γορτύνης τὸ εὖχος·*
*χαῖρε, ὅτι σκεδάζεις τῶν δαιμόνων τὸ νέφος.*
*Χαῖρε, καρπὲ ἡδύγευστε Πνεύματος·*
*χαῖρε, πηγὴ θαυμάτων τοῦ ῥεύματος.*
*Χαῖρε, δι᾽ ὃν Ἀστερούσια χαίρει·*
*χαῖρε, δι᾽ ὃν νῆσος Κρήτη συγχαίρει.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Βίῳ σου ἐναρέτῳ καθηδύνεις καρδίας*
*τῶν πίστει ἐκτελούντων σὴν μνήμην*
*καὶ νόας καταπλήττεις βροτῶν*
*ἰσαγγέλοις σου τρόποις, Κοσμᾶ ἔνδοξε,*
*διὸ τῷ σέ δοξάσαντι*
*βοῶμεν ὁλοθύμως πάντες·*

Ἀλληλούϊα

*Γένος τε καὶ πατρίς σου καὶ γενέθλιος οἶκος*
*ἀνθρώποις ἀδιάγνωστα μένει·*
*ἀλλ’ εὔγνωστον ὑπάρχει λαοῖς*
*τὸ ἐν νότῳ τῆς Κρήτης σμικρὸν σπήλαιον,*
*ἐν ᾧ ηὐλίσθης, ὅσιε,*
*διὸ βοῶμεν ταῦτα·*

*Χαῖρε, πυρσὲ βιοτῆς ὁσίας·*
*χαῖρε, φανὲ καὶ λαμπτὴρ ἁγνείας.*
*Χαῖρε, ἐν ὁσίοις τοῦ κόσμου ἐπώνυμος·*
*χαῖρε, ἰατρῶν ἀναργύρων συνώνυμος.*
*Χαῖρε, ἥλιος ἀνέσπερος ὁ φωτίζων τοὺς λαούς·*
*χαῖρε, ἄστρον τὸ οὐράνιον ὁδηγοῦν πάντας πιστούς.*
*Χαῖρε, ὅτι χαρίζεις τοῖς νοσοῦσιν ὑγίειαν·*
*χαῖρε, ὅτι προσφέρεις ψυχικὴν εὐρωστίαν.*
*Χαῖρε, ἁγίων πάντων ἀπάνθισμα·*
*χαῖρε, Κρητῶν τῆς νήσου θησαύρισμα.*
*Χαῖρε, πολλῶν χαρισμάτων τὸ σκεῦος·*
*χαῖρε, ζωῆς ἰσαγγέλου τὸ φέγγος.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Δόλιχον ἡσυχίας ὑπὲρ ἄλλον προκρίνας*
*διέβης στενὴν πύλην τῆς μάνδρας,*
*ἐν ᾗ ἀσκητικῇ βιοτῇ*
*καὶ ἀγάπῃ ὄντως πρακτικῇ, ὅσιε,*
*προθύμως εὐηρέστησας*
*Κυρίῳ καθ’ἑκάστην κράζων·*

Ἀλληλούϊα

Ἔρωτι πτερουμένη θεϊκῷ ἡ ψυχή σου
ἐζήτει ἐρημίας τοὺς τόπους,
διὸ ἐπήγνυς σὴν καλιὰν
πελεκάν ὡς ὁ ἐρημικὸς πάντοτε,
σπηλαίοις τε καὶ ὄρεσι
καὶ οὕτως παρ' ἡμῶν ἀκούεις·

Χαῖρε, ἡ σάλπιγξ τῆς ἐγκρατείας·
χαῖρε τὸ κύμβαλον ἀπαθείας.
Χαῖρε, ἀρετῶν χελιδὼν ἡ τορόφωνος·
χαῖρε, ἀγαθῶν ἀηδὼν ἡ ἡδύφωνος.
Χαῖρε, τύπος καὶ ὑπόδειγμα τῶν ὁσίων ἀσκητῶν·
χαῖρε, σκέπη καὶ κραταίωμα τῶν καλούντων σε πιστῶν.
Χαῖρε, ὅτι ἐκπλήττεις τῶν ἀπίστων ἐννοίας·
χαῖρε, ὅτι δροσίζεις τῶν πιστῶν τὰς καρδίας.
Χαῖρε, εἰκὼν ἡ ἔμπνους μονώσεως·
χαῖρε, ᾠδὴ ἀνθρώπων θεώσεως.
Χαῖρε, φωνὴ κελαδοῦσα τὰ θεῖα·
χαῖρε, ἠχὼ ἡ φωνοῦσα βραβεῖα.

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

Ζῆλον ἔνθεον ἔχων ἐν τῷ μέσῳ καρδίας
οὐδόλως σε κατέβαλον πάθη·
ἀσπίδι δὲ συντόνου εὐχῆς
προσβολὰς τοῦ Βελίαρ μακρὰν ἤλασας,
διὸ προσερχομένους σοι
ἐδίδασκες ἀεὶ κραυγάζειν·

Ἀλληλούϊα

Ἤντλησας τῇ ἀσκήσει ἐκ πηγῶν σωτηρίου
τὸ ὕδωρ ἀρετῶν Παρακλήτου,
ὃ πᾶσι τοῖς πιστοῖς μεταδοὺς
ταμιοῦχος ἐδείχθης Θεοῦ χάριτος,
διὸ συχνάκις ἤκουες
παρὰ πιστοῦ λαοῦ τοιαῦτα·

*Χαῖρε, τὸ νῖκος τῆς ἐρημίας·*
*χαῖρε, τὸ στέφος τῆς ἡσυχίας.*
*Χαῖρε, βασιλείας τῆς ἄνω βεβαίωσις·*
*χαῖρε, τῶν ἁγίων δογμάτων κραταίωσις.*
*Χαῖρε, βρύσις ἡ ἐκβλύζουσα τῶν θαυμάτων τὴν ῥοήν·*
*χαῖρε, ξένων μεγαλείων ἡ πολυχεύμων προχοή.*
*Χαῖρε, ὅτι ἐπλήσθης σωτηρίου ἀγάπης·*
*χαῖρε, ὅτι ἐῤῥύσθης τοῦ ἐχθροῦ τῆς ἀπάτης.*
*Χαῖρε, ᾠδῆς ἀγγέλων ἡ ὄρχησις·*
*χαῖρε, κοσμίου ἤθους ἀνόρθωσις.*
*Χαῖρε, πρηστὴρ τοῦ φορέως τῆς πλάνης·*
*χαῖρε, ῥυτὴρ ἐκ παθῶν δεινῆς ζάλης.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Θύρωμα τοῦ σπηλαίου τῶν ἀββάδων διέβης*
*φυγεῖν τῶν κακοδόξων πιέσεις,*
*ἀλλὰ μᾶλλον εἰσῆλθες, Κοσμᾶ,*
*εἰς περίλαμπρον καὶ εὐκλεὲς στάδιον,*
*δι᾽ οὗ καὶ τὰ οὐράνια*
*οἰκήσας σὺν ἀγγέλοις κράζεις·*

Ἀλληλούϊα

*Ἴθυνας τὴν ψυχήν σου, θεοφόρε, πρὸς πόλιν*
*τὴν μένουσαν, ἣν πόθῳ ἐζήτεις,*
*διὸ τὴν τεθλιμμένην ὁδὸν*
*ἐπορεύθης ὡς ἐπὶ πηγὰς ἔλαφος*
*καὶ φθάσας εἰς Παράδεισον*
*ἀκούεις παρὰ πάντων ταῦτα·*

*Χαῖρε, ζωῆς ὁσίας φρέαρ·*
*χαῖρε, πιστῶν ἀνθηφόρον ἔαρ.*
*Χαῖρε, ἀδάμας ὁ στεῤῥὸς τῆς νηστείας·*
*χαῖρε, μαργαρίτης στιλπνὸς εὐσεβείας.*
*Χαῖρε, τρόπους τῆς ἀσκήσεως διαλάμπων φρυκτωρός·*
*χαῖρε, ῥεῖθρα τῶν ἰάσεων ὁ πηγάζων ποταμός.*

Χαῖρε, ὅτι ἐπόθεις τὰ τερπνὰ Παραδείσου·
χαῖρε, ὅτι ἐσώθης ἐκ βυθοῦ τῆς ἀβύσσου.
Χαῖρε, βολὶς φωτίζουσα ζόφωσιν·
χαῖρε, ἀκτὶς ἡ νέμουσα φώτισιν.
Χαῖρε, ὑδάτων ὁ ἀείρροος πῖδαξ·
χαῖρε, ναμάτων τῆς Ἐδὲμ θεῖος ῥύαξ.

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

Κέδρος ὡς τοῦ Λιβάνου ψαλμικῶς ἐπληθύνθης
Δαυῒδ ὁ προφητάναξ ὡς ἔφη·
ὁμοῦ καὶ ὡς ὁ φοῖνιξ, Κοσμᾶ,
ἐν ἀσκήσεως γῇ φυτευθεὶς ἤνθησας,
διὸ καὶ θάλλεις πάντοτε
ἐν κήπῳ τῆς Ἐδὲμ κραυγάζων·

Ἀλληλούϊα

Λόγοις σου παναλκίμοις ἠρτυμένοις ἀσκήσει
ἐμείωσας φωνὰς θεομάχων
καὶ τῶν αἱρετιζόντων κομψοὺς
ἐγκρατείας τοῖς τρόποις, Κοσμᾶ, ᾔσχυνας,
διόπερ οἱ ὀρθόδοξοι
ἐβόων πρὸς σέ τοιαῦτα·

Χαῖρε, ὁ ἔμπλεως τῆς σοφίας·
χαῖρε, ὁ ῥήτωρ Θεοῦ προνοίας.
Χαῖρε, τῶν Δικαίων Γραφῆς ὁ ἰσότιμος·
χαῖρε, τῶν πατέρων συνόδων ὁμόγνωμος.
Χαῖρε, πάνσοφε διδάσκαλε τοῦ θεόφρονος λαοῦ·
χαῖρε, δόγματα τῆς πίστεως ἑρμηνεύων τοῦ Χριστοῦ.
Χαῖρε, αἱρετικῶν φωνὰς ἡ κόπτουσα σπάθη·
χαῖρε, θεολογίας ὀρθοδόξου ἡ στάθμη.
Χαῖρε, λειμὼν χαρίτων ὁ εὔοσμος·
χαῖρε, λιμὴν φωνούντων σε εὔδιος.
Χαῖρε, πιστῶν ὁδηγὲ θεηγόρε·
χαῖρε, ταγὲ εὐσεβῶν θεοφόρε.

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Μέλποντες γηθοσύνως τοὺς ὁσίους καμάτους,*
*νηστείας καὶ ἀγῶνας συντόνους,*
*γυμνότητα σαρκός σου, **Κοσμᾶ**,*
*καὶ τῆς ὁμολογίας στερρὸν φρόνημα*
*τὴν χάριν ἐκδεχόμεθα*
*Θεῷ ἀναβοῶντες πάντες·*

Ἀλληλούϊα

*Νήσου **Κρήτης** ἡ γαῖα ὡς πολύτιμον ὄλβον*
*ἐδέχθη τὸ σεπτόν σου σαρκίον,*
*ψυχήν δὲ σήν, παμμάκαρ **Κοσμᾶ**,*
*τῶν ἀγγέλων πάντερπνος χορὸς ἔλαβε*
*εἰς θάλαμον οὐράνιον,*
*ἰσάγγελε, σοί λέγων ταῦτα·*

*Χαῖρε, αἰτία τῆς εὐφροσύνης·*
*χαῖρε, ἀστὴρ τῆς ἀγαθωσύνης.*
*Χαῖρε, διακρίσεως λύχνε πολύφωτε·*
*χαῖρε, ταπεινώσεως φοῖνιξ ὑψίκομε.*
*Χαῖρε, ὅτι δόξα γέγονας οὐρανοῦ τε καὶ γῆς·*
*χαῖρε, ὅτι κλέος ἤνεγκας καὶ ἀγγέλοις καὶ βροτοῖς.*
*Χαῖρε, κρίνον μυρίζον εὐωδίᾳ χαρίτων·*
*χαῖρε, πλοῦτε σιτίζων τὰς ψυχὰς τῶν πενήτων.*
*Χαῖρε, εὐχῆς καλὸν ἐργαστήριον·*
*χαῖρε, παθῶν σαρκὸς τὸ σβεστήριον.*
*Χαῖρε, τοῦ κήπου τῆς Ἐδὲμ κληρονόμε·*
*χαῖρε, ἁγίων πάντων συγκληρονόμε.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Ξένα ὄντως σημεῖα ἐκ παντίμου σοροῦ σου*
*ἐξέπληξαν ἐξάκουστον **Κρήτην**,*
*διόπερ ἐκ σπηλαίου σμικροῦ*
*εἰς **Γορτύνης** ναὸν εὐλαβῶς ἤγαγον*
*Θεῷ τῷ σε δοξάσαντι*
*κραυγάζοντες, **Κοσμᾶ**, οἱ **Κρῆτες**·*

Ἀλληλούϊα

*Ὄμβρους τοὺς οὐρανίους ὡς προφήτης Ἠλίας*
*ἀπέκλεισας, Κοσμᾶ, προσταγῇ σου*
*λειψάνου σου σεπτοῦ ἀπαιτῶν*
*ἐκ Γορτύνης μετακομιδήν, ὅσιε,*
*εἰς τόπον σῆς ἀσκήσεως,*
*διὸ θαυμάζοντες βοῶμεν·*

*Χαῖρε, ὁ ῥοῦς θεϊκῶν δωρημάτων·*
*χαῖρε, τὸ νέφος ἐνθέων ναμάτων.*
*Χαῖρε, τῶν καρπῶν τῆς ἀσκήσεως κήρυγμα·*
*χαῖρε, τῶν ἐν ὕμνοις τιμώντων σε ἥδυσμα.*
*Χαῖρε, μάχαιρα ἀμφίστομος κατὰ πάντων τῶν παθῶν·*
*χαῖρε, πλὰξ ἡ θεοχάρακτος νόμων καὶ ὑποθηκῶν.*
*Χαῖρε, ὅτι Χριστοῦ πόθῳ ἐνίκησας πόθον·*
*χαῖρε, ὅτι ἐμφαίνεις τὸν αἰώνιον ὄρθρον.*
*Χαῖρε, αὐχμώδους γαίας ἡ ἄρδευσις·*
*χαῖρε, δεινῆς στενώσεως ἄνεσις.*
*Χαῖρε, δι᾽ ὃν Ἐκκλησία νῦν χαίρει·*
*χαίρει, δι᾽ ὃν πιστῶν δῆμος χορεύει.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Πάλαι θήκην ὀστέων τὰ πανώλεθρα στίφη*
*ἐσύλησαν ἀνόμων Ἀράβων·*
*ἀλλ᾽ ὅμως τῇ προνοίᾳ Θεοῦ*
*ἐφυλάχθησαν σῶα, Κοσμᾶ ὅσιε,*
*διὸ τανῦν σὴν λάρνακα*
*κυκλοῦντες τῷ Θεῷ βοῶμεν·*

Ἀλληλούϊα

*Ῥῶσιν πᾶσι παρέχεις καὶ κατ᾽ ἄμφω ὑγίειαν*
*τοῖς πίστει καὶ πόθῳ καλοῦσιν*
*ἀκέστορά σε τὸν θαυμαστόν,*
*ἀντιλήπτορα καὶ ἰατρὸν ἄμισθον,*
*διὸ σθένει ῥωννύμενοι*
*βοῶμεν εὐγνωμόνως ταῦτα·*

*Χαῖρε, ἀγάπης Θεοῦ ἡ λύρα·*
*χαῖρε, τῆς πίστεως ἡ κινύρα.*
*Χαῖρε, ἀρωγὲ ταχινὲ γεραιρόντων σε·*
*χαῖρε, βοηθὲ τῶν μολπαῖς νῦν ὑμνούντων σε.*
*Χαῖρε, πάθος τῆς πωρώσεως ὁ ἐκλύων σαῖς λιταῖς·*
*χαῖρε, ἄλγη τὰ δυσίατα θεραπεύων σαῖς εὐχαῖς.*
*Χαῖρε, ὅτι βραβεύεις τοὺς σὴν μνήμην τελοῦντας·*
*χαῖρε, ὅτι σκεπάζεις τοὺς πιστῶς σε καλοῦντας.*
*Χαῖρε, πιστῶν τὸ θάμβος καὶ ἔκστασις·*
*χαῖρε, δαιμόνων ἡ ἀπονέκρωσις.*
*Χαῖρε, Κρητῶν ἡ στερρὰ βακτηρία·*
*χαῖρε, πιστῶν Βενετῶν μεσιτεία.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Σκῆνος σὸν ἐγνωκότες τιμιώτερον λίθων*
*ἀφεῖλον ἐκ σπηλαίου σου λάθρα*
*καὶ εἰς Γαληνοτάτην, Κοσμᾶ,*
*προσεκόμισαν ὡς θησαυρὸν ἔμποροι*
*βοῶντες ἀφικνούμενοι*
*ἐν πόλεως πλημμύρᾳ οὕτως·*

Ἀλληλούϊα

*Τεῖχος ἄῤῥηκτον Κρήτης ἡ πρεσβεία σου πέλει,*
*διὸ ἀνέδραμε, μάκαρ,*
*κομίσαι τῆς οἰκείας μονῆς*
*ὁσιόλεκτον τῶν μοναστῶν σύστημα*
*σορόν σου ἐκ τῆς δύσεως*
*εἰς μάνδραν Κουδουμᾶ κραυγάζον·*

*Χαῖρε, σοφῶν μονοτρόπων ἔπος·*
*χαῖρε, μονῆς Κουδουμᾶ τὸ κλέος.*
*Χαῖρε, θεῖε γνόφε σκεπάζων τὸν Κόφιναν·*
*χαῖρε, θεοδέκτων δεήσεων ὄχημα.*
*Χαῖρε, ἕρκος τὸ θεόκτιστον τὸ τειχίζον σὴν μονήν·*
*χαῖρε, ἄστρον τὸ αἰθέριον τὸ μηνῦον τὴν αὐγήν.*

*Χαῖρε, πρόγονε ὄντως τοῦ σεμνοῦ Παρθενίου·*
*χαῖρε, πρότυπον θεῖον τοῦ σεπτοῦ Εὐμενίου.*
*Χαῖρε, τῆς νήσου Κρήτης ἀγλάϊσμα·*
*χαῖρε, τῆς γῆς Γορτύνης τὸ καύχημα.*
*Χαῖρε, τῶν Ἀστερουσίων τὸ γέρας·*
*χαῖρε, Ἑλλάδος λαμπρότατον σέλας.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Ὕμνων τῶνδε τὸ στέφος ἀντὶ ἄλλων ἀνθέων*
*προσφερομέν σοι, Κοσμᾶ θεόφρον·*
*δεχόμενος οὖν τὴν προσφορὰν*
*ταῖς λιταῖς σου κατάπεμψον χάριτας*
*τοῖς πόθῳ σέ γεραίρουσιν*
*ἀεί δὲ τῷ Θεῷ βοῶσιν·*

Ἀλληλούϊα

*Φαίνεις πᾶσιν ἀνθρώποις οὐρανόφωτον σέλας*
*ἀσκήσεως, Κοσμᾶ αἰγληφόρε,*
*πρὸς μίμησιν ἐγεῖρον πιστοὺς*
*καὶ φωτίζον νόας καὶ ψυχὰς θαύμασιν*
*ἰδίᾳ τῶν βοώντων σοι*
*εὐκαίρως ἐν μολπαῖς τοιαῦτα·*

*Χαῖρε, τῆς νήσου σεπτὴ λαμπρότης·*
*χαῖρε, δεινῶν λογισμῶν διώκτης.*
*Χαῖρε, τοῦ Θεσβίτου Προφήτου ἐφάμιλλος·*
*χαῖρε, τοῦ Χριστοῦ τῶν λογίων διδάσκαλος.*
*Χαῖρε, πόμα ἀκεσώδυνον σηπεδόνα ἐκμειοῦν·*
*χαῖρε, Πνεῦμα ὁ δεξάμενος τὰς ψυχὰς ζωοποιοῦν.*
*Χαῖρε, τῆς ἐν Γορτύνῃ Ἐκκλησίας ὁ λύχνος·*
*χαῖρε, τῶν ὀρθοδόξων ὁ θεότευκτος πύργος.*
*Χαῖρε, τερπνὴ σαμβύκη ἀσκήσεως·*
*χαῖρε, σειρὴν χρυσῆ τῆς καθάρσεως.*
*Χαῖρε, κρηπὶς τῶν ἐν Κρήτῃ ὁσίων·*
*χαῖρε, χαρίτων τὸ πλῆρες ταμιεῖον.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Χρώμενοι ἐπικλήσει σοῦ ὀνόματος, μάκαρ,*
*ἀντὶ ἄλλης ὑδρίας ἀντλοῦμεν*
*ἐκ πελάγους τῶν σῶν πρεσβειῶν*
*τὰ θεόσδοτα καὶ θαυμαστὰ νάματα*
*καὶ δόξαν ἀποδίδομεν*
*Θεῷ ἀναφωνοῦντες πάντες·*

Ἀλληλούϊα

*Ψαύοντες σῶν λειψάνων τὴν περίπυστον θήκην*
*ἀφθόνως κομιζόμεθα χάριν*
*καὶ ψάλλοντες σὴν μνήμην, Κοσμᾶ,*
*σὲ πλουτοῦμεν θερμὸν ἀρωγὸν πάντοτε*
*ἐν βίου περιστάσεσι,*
*διό σοι ἐκβοῶμεν ταῦτα·*

*Χαῖρε, λαμπρὸς μοναστῶν κοσμήτωρ·*
*χαῖρε, τῶν ἐρημιτῶν ἡγήτωρ.*
*Χαῖρε, ἰσαγγέλων βροτῶν τὸ ἀγλάϊσμα·*
*χαῖρε, οὐρανίων ἀνθρώπων ὡράϊσμα.*
*Χαῖρε, βάσις καὶ ὀχύρωμα τοῦ σπηλαίου τοῦ σεπτοῦ·*
*χαῖρε, ὄλβε τοῦ σεμνείου σου τοῦ φυλάσσοντος σοροῦ.*
*Χαῖρε, ὅτι φαιδρύνεις μεγαλόνησον Κρήτην·*
*χαῖρε, ὅτι ὑπάρχεις πρὸς Ἐδὲμ ὁδοδείκτης.*
*Χαῖρε, ἁγίων πάντων ὁμότιμε·*
*χαῖρε, ἀΰλων νόων ὁμόσκηνε.*
*Χαῖρε, σαρκὸς τὴν ἀσθένειαν παύων·*
*χαῖρε, ψυχὰς πρὸς Παράδεισον ἄγων.*

Χαίροις, Κοσμᾶ θεοκόσμητε.

*Ὦ φερώνυμε πάτερ, κοσμιότητος θείας,*
*Κοσμᾶ, ἐρημιτῶν ἡ ἀκρότης,*
*μὴ ἐλλίπῃς πρεσβεύειν Χριστῷ*
*ὑπὲρ τῶν σὲ καλούντων πιστῶς πάντοτε*
*λαβεῖν τὸ θεῖον ἔλεος*
*Κυρίῳ δὲ βοᾶν ἀλήκτως·*

Ἀλληλούϊα

Καὶ αὖθις τὸ Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

*Ἐν ἀσκηταῖς τὸν ἐρημίτην ἐπαινέσωμεν
ὁμολογίας τὸν βαστάσαντα τὰ στίγματα,
τὸν Κοσμᾶν ᾠδαῖς κοσμήσωμεν ὁμωνύμως
ὡς προθύμως παριδόντα τὰ ἐπίκηρα
καὶ προκρίναντα ἐν μόχθοις τὰ αἰώνια
νῦν κραυγάζοντες· χαῖρε, Κοσμᾶ θεοκόσμητε.*

Δίστιχα.

*Μακάριον σκέπε, ἀρχιθύτην Γορτύνης,
Χαῖρέ σοι βοῶντα σὺν χορῷ μοναζόντων.*

*Μονῆς Κουδουμᾶ ἀδελφότητα φρούρει
ἀναμέλπουσά σοι, Κοσμᾶ, χαῖρε δι᾽ οἴκων.*

*Τὸ χαῖρε, Κοσμᾶ ἐρημῖτα, σοί κράζω
ἔρημος ἐν κόσμῳ Ἰωάννης διάγων.*




Ο ΑΓ.
ΚΟΣΜΑΣ

# ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΚΟΣΜΑΝ ΤΟΝ ΕΡΗΜΙΤΗΝ

Ἔχοντα ἀκροστιχίδα κατὰ τὰς τρεῖς στάσεις·
«Μακαρίου εὐχῇ ᾆσμα ἐγκωμίων ᾄδω τῷ Κοσμᾷ. Ἰω.»

## ΣΤΑΣΙΣ Α΄

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

*Μακαρίζομέν σε, ἐρημῖτα **Κοσμᾶ**,*
*ἐγκωμίων ταῖς ᾠδαῖς ἐκπληττόμενοι*
*διὰ πλῆθος τῶν τρανῶν σου ἀρετῶν.*

*Ἄνωθεν τὴν χάριν, θεοφόρε, λαβὼν*
*ἐνεδύσω ὡς στολὴν τὴν γυμνότητα*
*ὡς Ἀδὰμ μὴ ἐντρεπόμενος, **Κοσμᾶ**.*

*Κόσμου τὰ ἡδέα καὶ τοῦ κόσμου τρυφὰς*
*ἀρνησάμενος, **Κοσμᾶ** θεοκόσμητε,*
*εὐηρέστησας ὁσίως τῷ **Θεῷ**.*

*Ἀνελθὼν εἰς ὄρος τῇ ἀσκήσει, **Κοσμᾶ***
*ὑψιπέτης ἀετὸς ἀναδέδειξαι,*
*ὅθεν πτέρυξι ἐνθάλπεις τοὺς πιστούς.*

*Ῥέει ἀκενώτως ὡς ὑδάτων κρουνὸς*
*τὰ θαυμάσια ἡ θήκη λειψάνου σου*
*κατευφραίνουσα τὰ στίφη τῶν πιστῶν.*

*Ἵστασαι τῷ θρόνῳ τῷ ἀστέκτῳ **Θεοῦ***
*ἱκετεύων ὑπὲρ τέκνων σου, ὅσιε,*
*τῶν κυκλούντων σου τὴν λάρνακα ὀστῶν.*

*Ὄμβρησον εὐχαῖς σου ὑετὸν ἐξ Ἐδὲμ*
*ὡς ἐπότισας τὴν Κρήτην παλαίτατα*
*μετὰ πάροδον αὐχμοῦ πολυετοῦς.*

*Ὕβριν ἐλογίσω εἰ καὶ νέκυς, Κοσμᾶ,*
*ἐν Γορτύνῃ τὴν δοθεῖσαν πρός σε τιμὴν*
*ἐκδιδάσκων τὴν ταπείνωσιν λαοῖς.*

*Ἔφθασε σορός σου, θεοφόρε Κοσμᾶ,*
*εἰς τὰς νήσους Βενετῶν ὥσπερ ἥλιος*
*ἐξ ἑῴας ἀνατέλλων εἰς δυσμάς.*

*Ὕπερθεν σορός σου ἐφυλάχθη, Κοσμᾶ,*
*ἐκ τῆς Ἄγαρ ἐν τῇ δύσει ἀλώβητος*
*ἐξ ἧς ἤχθη πρὸς ἡμᾶς ὡς θησαυρός.*

**Δόξα Πατρί.**

Τριαδικόν.

*Χάρις σοῖς λειψάνοις ἐξεχύθη, Κοσμᾶ*
*ἐνεργοῦσα τὰ τεράστια θαύματα,*
*ὅτι ᾤκησεν ἐντός σου ἡ Τριάς.*

**Καὶ νῦν.**

Θεοτοκίον.

*Ἡ μορφή σου, Κόρη, ἐν εἰκόνι σεπτῇ*
*Ἐλεοῦσα κεκλημένη τὰ ὄμματα*
*καθηδύνει τῶν πιστῶν προσκυνητῶν.*

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον·

*Μακαρίζομέν σε, ἐρημῖτα Κοσμᾶ,*
*ἐγκωμίων ταῖς ᾠδαῖς ἐκπληττόμενοι*
*διὰ πλῆθος τῶν χρηστῶν σου ἀρετῶν.*

## ΣΤΑΣΙΣ Β΄

Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

*Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν ἐρημίτην,*
*τὸν ἐν ταῖς ὀπαῖς τῆς Κρήτης βιώσαντα*
*καὶ δοξάσαντα ὁσίως τὸν Θεόν.*

*Σέβομεν πιστῶς χαριτόβρυτον θήκην λειψάνου*
*τοῦ Κοσμᾶ τοῦ ἐρημίτου, ὃ σήμερον*
*ἐκομίσθη εἰς τὴν μάνδραν Κουδουμᾶ.*

*Μέλπομεν ᾠδαῖς τοὺς ἀγῶνάς σου ἐν τῷ σπηλαίῳ,*
*τῆς ὁμολογίας μόχθους, οὓς ἤνεγκας*
*καὶ ἱδρῶτας τῆς ἀσκήσεως, Κοσμᾶ.*

*Ἄλγη νοσηρὰ δυναστεύοντα ἡμῶν σαρκίον*
*καὶ τὰς ψυχικὰς στενώσεις διάλυσον*
*τῇ ἰσχύϊ μεσιτείας σου, Κοσμᾶ.*

*Ἔχει οὐρανὸς τὴν ὁσίαν σου ψυχὴν ὡς κόσμον*
*καὶ τοῦ Κουδουμᾶ ἡ μάνδρα τὸ σκῆνός σου*
*πρὸς ἣν σπεύδομεν λαβεῖν τὰς δωρεάς.*

*Γάνος ἱερὸν τῆς Γορτύνης πέλεις, ἐρημῖτα,*
*τῆς μεγαλονήσου Κρήτης ἐγκαύχημα*
*καὶ ἡ δόξα τῆς μονῆς τοῦ Κουδουμᾶ.*

*Κόσμος σύ, Κοσμᾶ, φερωνύμως γέγονας ὁσίων,*
*ὅτι ἡδονὰς τοῦ κόσμου ἀπέφυγες*
*καὶ φωτὸς ὑπερκοσμίου νῦν τρυφᾷς.*

*Ὥσπερ πάλαι Λὼτ ὁ φυγὼν τῆς ἀνομίας γαῖαν*
*οὕτω τῶν ἀββάδων σπήλαιον ᾤκησας*
*καὶ ἐῤῥύσθης ὡς προπάτωρ ἐκ φλογός.*

*Μένους ἐκφυγεῖν Ἠλιοὺ ἀνάσσης Ἰεζάβελ*
*ἐν ὀπῇ τῆς γῆς εἰσῆλθεν ὡς σήμερον*
*ὁ Κοσμᾶς καὶ διεσώθη πειρασμῶν.*

*Ἵλεων Θεὸν νῦν ἀπέργασαι ταῖς σαῖς πρεσβείαις,*
*ὅτι παρεστὼς τῷ θρόνῳ Παντάνακτος*
*ἱκετεύεις ὑπὲρ τέκνων σου, Κοσμᾶ.*

Δόξα Πατρί.

Τριαδικόν.

*Ὥρα φοβερᾶ τῆς ἐτάσεως καὶ κριτηρίου*
*τὴν Τριάδα, μάκαρ, καθικέτευε*
*δωρηθῆναι ἱλασμὸν σοῖς ὑμνηταῖς.*

Καὶ νῦν.

Θεοτοκίον.

*Νύττει με σφοδρῶς, Ἐλεοῦσα, σῆς μορφῆς τὸ κάλλος,*
*ὅταν σῇ σεπτῇ εἰκόνι δεόμενος*
*προσεγγίζω ἐν τῇ μάνδρᾳ Κουδουμᾶ.*

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον·

*Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν ἐρημίτην,*
*τὸν ἐν ταῖς ὀπαῖς τῆς Κρήτης βιώσαντα*
*καὶ δοξάσαντα ὁσίως τὸν Θεόν.*

# ΣΤΑΣΙΣ Γʹ

Ἦχος γʹ. Αἱ γενεαὶ πᾶσαι.

*Αἱ γενεαὶ πᾶσαι μνήμην σου τιμῶμεν,*
*Κοσμᾶ, ἐν ἐγκωμίοις.*

*Δεῦτε ὑμνῳδίαις τιμήσωμεν λειψάνου*
*ἐπάνοδον ἐν Κρήτῃ.*

*Ὢ τῶν ἐξαισίων! Πάλιν ἐν τῇ Κρήτῃ*
*τὸ σὸν σκῆνος κυκλοῦμεν.*

*Τῶν Ἀστερουσίων ὄρος περιφρούρει*
*Καὶ Κουδουμᾶ τὴν μάνδραν.*

*Ὤλεσας τὸν πλάνον, πάτερ, τῇ συντόνῳ*
*ἀσκήσει ἐν σπηλαίοις.*

*Κύματα παθῶν μου θραῦσον ἐν τῇ πέτρᾳ,*
*Κοσμᾶ, τῶν πρεσβειῶν σου.*

*Ὅρμος σὺ ἐγένου γαληνὸς πλεόντων*
*ἐν Λιβυκῷ πελάγει.*

*Σπήλαιον ἀββάδων γέγονε παλαίστρα,*
*Κοσμᾶ, τῶν σῶν ἀγώνων.*

*Μύροις τῶν λειψάνων ῥαίνομεν τὴν θήκην*
*Κοσμᾶ τοῦ ἐρημίτου.* (ἐκ γʹ)

*Ἄνοιξον τὰς χεῖρας θάλψαι σοὺς ἱκέτας*
*στοργῇ τῶν πρεσβειῶν σου.*

Δόξα Πατρί.

Τριαδικόν.

*Ἵλεως γενοῦ μοι, ὦ Τριὰς Ἁγία,*
*λιταῖς τοῦ ἐρημίτου.*

Καὶ νῦν.

Θεοτοκίον.

*Ὤλβισας μονήν σου ἐν Ἀστερουσίοις*
*εἰκόνι Ἐλεούσης.*

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον·

*Αἱ γενεαὶ πᾶσαι μνήμην σου τιμῶμεν,*
*Κοσμᾶ, ἐν ἐγκωμίοις.*



# ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με σεπτὸν Κοσμᾶν ὑμνῆσαι.

*Τῶν ἀγγέλων χορεῖαι, ὧν ζωήν,ἐρημῖτα,*
*ἐμιμήθης ὁσίως,*
*τὴν ἁγίαν σου ψυχὴν εἰς τρυφὴν Παραδείσου*
*τοῦ ἡτοιμασμένου δικαίοις ἤγαγον*
*σὺν αὐτοῖς ἀλήκτως, μάκαρ, εὐφραίνεσθαι.*

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με σεπτὸν Κοσμᾶν τιμῆσαι.

*Τί τὸ πλῆθος τὴν μονὴν ἐκύκλωσεν, Κουδουμᾶ ἐν τῇ Γορτύνῃ;*
*Ἐρημίτου εἰς τὴν Κρήτην λείψανον*
*ἐπεστράφη νῦν ἐκ Βενετίας.*
*Ὅθεν καὶ ὑμᾶς καλοῦμεν ἐν ᾄσμασιν*
*ἑορτάσαι τοῦ λειψάνου ἐπάνοδον.*

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με σεπτὸν Κοσμᾶν.

*Λίαν θερμῶς πρὸς μονὴν ἀνέδραμεν*
*εὐσεβῶν τὸ σύστημα τιμῆσαι*
*τῆς σοροῦ σου πρὸς αὐτὴν ἐπάνοδον καὶ κράζει·*
*πάρεσο τανῦν, Κοσμᾶ, μετὰ σώματος*
*τοὺς πιστοὺς εὐλογῶν καὶ τὴν Μεγαλόνησον.*

**Δόξα Πατρὶ ...**

Τριαδικόν.

*Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε*
*καὶ τὸ Ἅγιον Πνεῦμα,*
*τὴν Ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ,*
*ὁμολογητά, ὡς σὺ ἀνεκήρυξας*
*παύων θεομάχων φρύαγμα.*

Καὶ νῦν.

Θεοτοκίον.

*Σὲ Δεσπότην κρατοῦσαν ταῖς σεπταῖς σου ἀγκάλαις*
*ἐν εἰκόνι ὁρῶμεν ἐν μονῇ σεβασμίᾳ*
*Κουδουμᾶ προσελθόντες κράζοντες δὲ σοί*
*πρέσβευε πρὸς Κύριον*
*ὑπὲρ τέκνων σου, Ἐλεοῦσα Δέσποινα.*

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα σοι ὁ Θεός. (ἐκ γ΄)

Δίστιχα.

*Ἐκ γῆς τῶν μακάρων τὴν χάριν σου, μάκαρ,*
*πέμψον Μακαρίῳ τῷ Γορτύνης ποιμένι.*

*Κοσμᾶ τῇ σῇ μνήμῃ ἐγκώμια πρέπει,*
*ἅπερ προθύμως Ἰωάννης σοι ᾄδει.*

***ΤΕΛΟΣ***
***ΚΑΙ ΤΩ ΘΕΩ***
***ΔΟΞΑ***

